UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ab anno CCCXIV. ad annum CCCXLVI.

**Parisiis, 1644**

Victor Constantinus Augustus Theodoto.

urn:nbn:de:hbz:466:1-15072

Visual Library

ANNO CHRISTI 325.

τοῦ θεράποντος τοῦ θεοῦ, τουτέστιν ἐμοῦ, ἐνεργείας ἀναστελήσεται. ὁ θεὸς ὑμᾶς φυλάξοι, ἀγαπητοὶ ἀδελφοί.

Νικητὴς Κωνσταντῖνος σεβαστὸς Θεοδότῳ.

ΟΣΗ τῆς θείας ὀργῆς ἡ ἰσχὺς πέφυκε, καὶ ἐξ ὧν Εὐσέβιός τε καὶ Θέογνις πεπόνθασιν εὐχερές καί σε μαθεῖν· οἳ εἰς τὴν ἁγιωτάτην παροινοῦντες θρησκείαν, τὸ τοῦ σωτῆρος θεοῦ ὄνομα τῷ συστήματι τοῦ οἰκείου λῃστηρίου καὶ μετὰ τὸ τυχεῖν συγγνώμης ἐμίαναν. ὅτε γὰρ μάλιστα μετὰ τὴν τῆς συνόδου ὁμογνώμονα συμφωνίαν ἐχρῆν τὴν προτέραν ἐπανορθώσασθαι πλάνην, τότε τοῖς αὐτοῖς ἀτοπήμασιν ἐμμένοντες ἑάλωσαν. διὰ τοῦτο γοῦν ἡ θεία πρόνοια αὐτοὺς τοῦ ἑαυτῆς ἀπώσατο λαοῦ· ἐπεὶ μηδὲ ἔφερε τὰς ἀκάκους ψυχὰς ὀλίγον ἀπονοίᾳ φθειρομένας καθορᾶν· καὶ νῦν μὲν ἀξίαν παρ' αὐτῶν ᾔτησε δίκην, μείζονα δὲ καὶ εἰς τὸ ἑξῆς διὰ τοῦ παντὸς αἰῶνος λήψεται. ὅπερ τῇ σῇ ἀγχινοίᾳ δηλωθῆναι δεῖν ἡγησάμην, ἵν' εἴ τις κακὴ παραίνεσις τῶν τοιούτων, ὡς ἔγωγε οὐκ οἶμαι, τῇ σῇ ἐγκαθέζηται προαιρέσει, ταύτην τῆς ψυχῆς ἀφελόμενος, καθαράν, ὡς προσήκει, τὴν διάνοιαν, εἰλικρινῆ τε καθοσίωσιν, καὶ ἄχραντον πίστιν τῷ σωτῆρι θεῷ παρασχέσθαι προθυμηθῇς. καὶ γὰρ τοῦτο προσῆκόν ἐστιν ὑπὸ τούτου παρέχεσθαι, ὅς δὴ ἂν ἀκεραίων τῶν τῆς αἰωνίου ζωῆς ἐπάθλων ἀξιοῦσθαι βούληται. ὁ θεός σε διαφυλάξοι, ἀδελφὲ ἀγαπητέ.

serui Dei, hoc est, meiipsius opera pœnas suæ audaciæ dabit. Deus vos, fratres carissimi, incolumes seruet.

*Victor Constantinus Augustus Theodoto.*

QVANTA vis diuinæ iræ extitit, etiam ex iis quæ Eusebio & Theognio acciderunt, facile licet tibi intelligere: qui in sanctissimam religionem debacchantes, Dei saluatoris nomen ipsa turma prædonum suorum etiam post impetratam veniam polluerunt. Nam tum maxime quando post concordem Synodi consensionem, priorem errorem eos corrigere oportuit, absurdis istis opinionibus adhærescere deprehēsi sunt. Ob hoc igitur diuina prouidentia ex populi sui numero eos exturbauit; quoniam neque tulit minime malas mentes amentia illa corruptas videre: & nunc debitas ab iis pœnas exposcit, maiores etiam deinceps in omni sæculo sumpturus. Quod prudentiæ tuæ indicare oportere putabam, vt si qua peruersa admonitio istorum (quod non existimo) tuo insideat animo, ea ex animo deleta, puram, vt decet, cogitationem, veram sanctificationem, intemeratam fidem seruatori Deo præbere studeas. Etenim consentaneum est hoc ab eo fieri, qui incorruptis æternæ vitæ præmiis dignus haberi constituerit. Deus te custodiat, frater dilecte.